§. υμ΄. Τὰ δὲ τῆς πρώτης Συζυγίας, ἐν οἷς ἡ σύναιρεσις εἰς ου, Δωρικῶς, καὶ διὰ τῆς ευ ἐκφέρονται. οἷον, ποιέομεν, οῦμεν, καὶ ποιεῦμεν ποιέοντες οῦντες, καὶ ποιεῦντες ποιέομαι, οῦμαι, καὶ ποιεῦμαι. ποιεόμενοι, ούμενοι, καὶ ποιεύμενοι.

§ υμά. Τὰ δὲ τῆς δευτέρας Πληθυντικὰ τρίτα πρόσωπα, βοῶσι, γελῶσι, Δωριεῖς βοῶντι, καὶ γελῶντι λέγουσιν, ὡς Πίνδαρος. Ὑπὲρ τὸν ἀληθῆ λόγον δαιδαλμένοι ψεύδεσιν ἐξαπατῶντι μῦθοι. Καὶ τὸ τίθησι δὲ, καὶ ὑφίησι τιθητι, καὶ ὑφίητι, λέγουσι καὶ τὸ εἰσὶ, ἐντί.

§. υμβ΄. Ἔτι ἐπὶ τῶν τῆς δευτέρας Συζυγίας Ῥημάτων, καὶ Μετοχῶν, παρεντίθεται πολλαχῆ διὰ τὸ μέτρον Ἰωνικῶς τὸ ο, ἢ τὸ α ἐν οἷς ἡ συναίρεσις εἰς ω, ἢ εἰς α. Ἡ δὲ τοιαύτη ἐπένθεσις ὁμόχρονος δὴ τῷ ὑπάρχοντι παραληκτικῷ ἔσται. βραχεῖα γὰρ, ἂν βραχύ. ὁρόω, βοόω. ὁράα, βοαα. μακρὰ δὲ, ἂν μακρόν. μαιμώω, πηδώω. μαιμάα, πηδάα.

§ υμγ΄. Ἐπὶ δὲ τῆς τρίτης Συζυγίας ἐπένθεσις μὲν οὐ γίνεται· τρέπεται δὲ ἔσθ᾽ ὅτε τὸ Ἰωνικὸν ο μικρὸν, εἰς ω μέγα διὰ τὸ μέτρον. οἷον, ἱδρόοντας, καὶ ἱδρώοντας.

## Γενικαὶ Σημειώσεις

§. υμδ΄. Ἔτι οἱ Δωριεῖς τοὺς εἰς ον λήγοντας προπαροξυτόνους χρόνους, παροξυτονοῦσιν. οἷον, ἐλέγον, ἐτρέχον, ἐλάβον, ἐφάγον. Καὶ ἔτι τοὺς εἰς αν. οἷον, ἐσάσαν, ἐφάσαν, ἐκράξαν. Συστέλλουσι δὲ καὶ τῆς Μετοχῆς τὸ ας, νοῆσας, καὶ πρᾶξας λέγοντες. Καὶ τὰ εἰς ε Προστακτικὰ, εἰς ον προφέρουσιν. οἷον, φάγε, φάγον. θί-